ΙC XC
ΝΙ ΚΑ

*Οἰκονόμου π. Γεωργίου Ρήγα**
*(1884-1961)*

# Τάξις Ἀγρυπνίας ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ (ἐκτὸς Κυριακῆς)




Ἐκκλησία Γνησίων Ὀρθοδόξων Χριστιανῶν Ἑλλάδος
Ἱερὰ Μητρόπολις Ὠρωποῦ καὶ Φυλῆς
Μάρτιος 2017




# Τάξις Ἀγρυπνίας ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ (ἐκτὸς Κυριακῆς)

## Σημείωσις

**Ἐὰν** Μνήμη Ἁγίου ἑορταζομένου τύχῃ ἐν τῇ Μεγάλῃ Τεσσαρακοστῇ, **ἐκτὸς Κυριακῆς,** παρελάβομεν **μὴ ἐπιτελεῖν Ἀγρυπνίαν.**

**Ε**ἴπερ δέ τις βούλοιτο ἑορτάσαι Ἅγιόν τινα δι᾽ Ἀγρυπνίας, **οὐκ ἀπαγορεύεται ἡ ἐπιτέλεσις αὐτῆς.**

**Γ**ίνεται δὲ ὑπὸ τὸν ἑπόμενον τύπον:

**1α. Ἐ**ν τῇ παραμονῇ, μετὰ τὴν Θ΄ Ὥραν, γίνεται Προηγιασμένη μετὰ τοῦ Μικροῦ Ἑσπερινοῦ τοῦ Ἁγίου, οὕτω:

**Μ**ετὰ τὰ *Πρὸς Κύριον,* εἰς τὸ *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους ι΄ καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δίς, καὶ τὸ Μαρτυρικόν· τὰ γ΄ Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Ἁγίου Προσόμοια δ΄. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

**Ε**ἴσοδος, *Φῶς ἱλαρόν,* τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω* καὶ καθεξῆς ἡ Θεία Λειτουργία τῶν Προηγιασμένων.

**Κ**οινωνικὸν *Γεύσασθε καὶ ἴδετε.*

● **1β. Ἐ**ὰν ὅμως ἡ παραμονὴ τῆς Μνήμης τοῦ Ἁγίου ἐστὶν ἡ Καθαρὰ Δευτέρα, ὁ Μικρὸς Ἑσπερινὸς γίνεται ἄνευ Προηγιασμένης, οὕτω:

**Μ**ετὰ τὴν Θ´ Ὥραν, τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον,* εἰς τὸ *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν τὰ γ´ Προσόμοια τοῦ Τριῳδίου, καὶ τοῦ Ἁγίου γ´. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

**Τ**ὸ *Φῶς ἱλαρόν,* καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου.

**Ε**ἰς τὸν στίχον, τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς καὶ τὸ Μαρτυρικόν. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Θεοτοκίον ἢ Σταυροθεοτοκίον.

**Τ**ὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὰ *Θεοτόκε Παρθένε* κτλ., αἱ γ´ μεγάλαι μετάνοιαι μόνον, Τρισάγιον, ἡ Εὐχή, ὁ Ψαλμὸς καὶ Ἀπόλυσις.

**2α. Π**ερὶ δὲ ὥραν ιβ´ τῆς ἡμέρας [18:00´], σημαίνει καὶ συναχθέντες ἐν τῇ Ἐκκλησίᾳ, ψάλλομεν τὸ Μέγα Ἀπόδειπνον.

**Κ**αὶ μετὰ τὴν τελείαν συμπλήρωσιν αὐτοῦ, θυμιᾷ ὁ Ἱερεὺς καὶ εὐλογεῖ καὶ ἀρχόμεθα τῆς Ἀγρυπνίας, ἤτοι λέγομεν τὸν Προοιμιακὸν καὶ ψάλλομεν τὰ Ἀνοιξαντάρια.

**Ε**ἶτα στιχολογοῦμεν τὴν α´ στάσιν τοῦ *Μακάριος ἀνήρ.*

**Ε**ἰς τὸ *Κύριε ἐκέκραξα,* τὰ Στιχηρὰ τοῦ Ἁγίου εἰς η´. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* τὸ α´ Θεοτοκίον εἰς τὸν αὐτὸν ἦχον.

**Ε**ἴσοδος, *Φῶς ἱλαρόν,* τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Ἐκτενής, τὸ *Καταξίωσον* καὶ τὸ *Πληρώσωμεν.*

**Μ**ετὰ τὴν ἐκφώνησιν, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ αἱ συνήθεις Δεήσεις ἐν τῷ Νάρθηκι.

**Ε**ἶτα εἰς τὸν στίχον, τὰ Ἀπόστιχα τοῦ Ἁγίου μετὰ τῶν στίχων αὐτοῦ. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Θεοτοκίον.

***Ν**ῦν ἀπολύεις,* Τρισάγιον, Ἀπολυτίκιον τοῦ Ἁγίου· *Δόξα,* τὸ αὐτό· *Καὶ νῦν,* τὸ *Θεοτόκε Παρθένε* ἀργῶς, ἡ εὐλόγησις τῶν Ἄρτων καὶ Ἀνάγνωσις τοῦ Ἁγίου.

● **2β. Μ**ετὰ δὲ τὴν Ἀνάγνωσιν, εὐθὺς *Δόξα ἐν ὑψίστοις Θεῷ* καὶ καθεξῆς ὁ Ἑξάψαλμος καὶ ἡ λοιπὴ Ἀκολουθία τοῦ Ὄρθρου, τῶν Ὡρῶν καὶ τῆς Προηγιασμένης.

**Π**ολυέλεον δὲ οὐ ψάλλομεν [πλὴν τῆς 24ης Φεβρουαρίου καὶ τῆς 9ης Μαρτίου –**σημ. ἡμ.**].

**3α.** Ἐ**ὰ**ν δὲ ἡ Μνήμη τοῦ Ἁγίου τύχῃ **ἐν Δευτέρᾳ,** ὁ Μικρὸς

Ἑσπερινὸς γίνεται τῇ Κυριακῇ ἑσπέρας ἄνευ Προηγιασμένης, οὕτω:

**Μ**ετὰ τὸν Προοιμιακόν, εἰς τὸ *Κύριε ἐκέκραξα,* τὰ Κατανυκτικὰ τοῦ ἤχου δ´, τοῦ Τριῳδίου γ´ καὶ τοῦ Ἁγίου γ´. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Προσόμοιον.

**Ε**ἴσοδος, *Φῶς ἱλαρόν,* τὸ Μέγα Προκείμενον.

**Ε**ἰς τὸν στίχον, τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς καὶ τὸ Μαρτυρικόν. *Δόξα,* τοῦ Ἁγίου· *Καὶ νῦν,* Θεοτοκίον.

**Τ**ὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ εἶτα τὰ *Θεοτόκε Παρθένε* κτλ., αἱ γ´ μεγάλαι μετάνοιαι μόνον καὶ Ἀπόλυσις.

● **3β. Π**ερὶ ὥραν ιβ´ τῆς ἡμέρας [18:00´], τὸ Μέγα Ἀπόδειπνον χῦμα ἐν τῷ Νάρθηκι ὡς ἔθος· καὶ μετὰ τὴν Ἀπόλυσιν αὐτοῦ, **ἡ Ἀκολουθία τῆς Ἀγρυπνίας ὡς ἄνω §2.**



(*) Βλ. Τυπικόν, Οἰκονόμου π. Γεωργίου Ρήγα (1884-1961), σελ. 499-500, ἔκδοσις «Πατερικοῦ Ἱδρύματος Μελετῶν», Λειτουργικὰ Βλατάδων - 1, Θεσσαλονίκη 1994. ● Ἐπιμέλ. ἡμετ.